# THEOPHILI ALEXANDRINI EPISCOPI

## FRAGMENTA EX ALIIS OPERIBUS DEPERDITIS

### I.

*In illud Psalmi* XCII, Dominus regnavit, decorem induit.
*Ex codice regio* 211.

*Apud Sirmondum ad Rufini Palæstini librum* De fide, *Opp. tom. I, pag.* 313.

*Ὁ Κύριος ἐβασίλευσεν, ἐνεδύσατο εὐπρέπειαν.* A Ἐπειδὴ γὰρ ἔλαβε φθαρτὸν σῶμα, εὐπρέπειαν ἐνεδύσατο ἀναστήσας αὐτὸ, οὐ φθαρτὸν, ἀλλ' ἄφθαρτον. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἔλαβε γὰρ ἀναστήσας πάλιν τὸ ἑαυτοῦ σῶμα, κατὰ τὴν οἰκείαν ἐπαγγέλειαν, *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.* Ὃ ἤγειρε τοίνυν ἐνεδύσατο σῶμα. Ἔλεγε γὰρ, *Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.* Ἀναστὰς ἐν τῷ μνήματι οὐκ ἔμεινε· καὶ μείνας ἐν τῷ μνήματι, οὐκ ἴδεν διαφθορὰν, οὐκ ἐκράτησεν αὐτοῦ ἡ διαφθορά. Ὁ ἄφθαρτος Λόγος τὸ φθαρτὸν ἀνέστησε σῶμα εἰς ἀφθαρσίαν

*Dominus regnavit, decorem induit* [12]. Quia enim corruptibile corpus assumpsit, decorem induit, suscitans illud non corruptibile, sed incorruptibile. *Dominus regnavit, decorem induit.* Assumpsit enim resurgens iterum proprium corpus, prout ipse prædixerat : *Solvite templum hoc, et in tribus diebus excitabo illud* [13]. Quod excitarat ergo, induit corpus. Dicebat enim : *Non derelinques animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem* [14] : *insuper autem et caro mea requiescet in spe.* Resurgens non mansit in monumento : sed et in monumento manens non vidit corruptionem; corruptio illi non est dominata. Verbum incorruptibile corruptibile corpus suscitavit ad incorruptibilitatem.

### II.

*Ex Catena* in Genesin, *cod. reg.* 810.
*Apud Sirmondum, ibid., pag.* 292.

(19) Ὅτι οὐ δι' ἁμαρτίας, ὡς Ὠριγένει ἔδοξε, καταβεβλημέναι αἱ ψυχαὶ σώμασι συνεπλάκησαν, ἐχρησάμεθα τῷ Μωσέως ῥήματι, λέγοντος τοῖς υἱοῖς Ἰσραὴλ, *Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν σήμερον ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς καθότι ἐλάλησεν ὑμῖν.* Οὐ γὰρ B εὐλογία κατὰ Ὠριγένην ἐστὶν ἡ τῶν σωμάτων ποίησις, ἀλλὰ κατάρα πλανωμέναις ψυχαῖς.

Quod non ob peccatum, ut Origeni visum est, dejectæ animæ corporibus implicitæ sint, ex Mosis verbis didicimus, filiis Israel dicentis : *Dominus Deus patrum vestrorum adjiciat vobis, sicut estis hodie, millia multa, et benedicat vobis, sicut vobis locutus est* [15]. Neque enim benedictio, secundum Origenem, est corporum productio, sed maledictio errantibus animabus.

### III.

*Ex eodem cod. reg.* 810.
*ibid. pag.* 295.

Μέσος οὖν ὁ ἄνθρωπος τῶν δύο ἐγένετο· οὔτε θνητὸς ὁλοσχερὴς, οὔτε ἀθάνατος καθόλου, δεκτικὸς δὲ ἑκατέρου.

Medius igitur inter duos homo factus fuerat : neque mortalis omni ex parte, neque totus immortalis, sed capax utriusque.

### IV.

*Apud S. Joannem Damasc.* Parall. sacr. *Opp. tom. II, pag.* 339.

Εἶτα βασιλεὺς μὲν ἐπίγειος πιστεύεται εἶναι, καίπερ μὴ πᾶσι βλεπόμενος, διὰ δὲ νόμων καὶ διατάξεων αὐτοῦ, καὶ ἐξουσιῶν καὶ δυνάμεων καὶ εἰκόνων νοεῖται· τὸν δὲ Θεὸν οὐ βούλει νοεῖσθαι δι' ἔργων καὶ δυνάμεων;

Ita ne tandem rex terrenus, etsi minime videtur ab omnibus, tamen per leges et edicta, auctoritatemque et potentiam ac imagines exsistere creditur; Deum vero ex operibus et potentia intelligi non vis?

[12] Psal. XCII, 13. [13] Joan. II, 19. [14] Psal. XV, 10. [15] Deut. I, 11.

(19) His affinia scribit auctor in *Epist. Pasch.* ann. 401, § 18, ubi et Deuteronomii locum hic laudatum excitat.

## V.

*Idem ibid. pag.* 781.

Pauci admodum sunt qui, cum omnem vitam suam divinarum Scripturarum inquisitioni impendant, doctrinam quæ in eis continetur, et profundiores earum sensus, sublimiore intelligentia assequi valeant.

Σφόδρα ὀλίγων τυγχάνει τῶν πάντα τὸν ἑαυτῶν βίον ἀνατεθεικότων τῇ περὶ τὰς θείας Γραφὰς ἐξετάσει, τὸ δύνασθαι λογικώτερον παρακολουθεῖν τοῖς περιεχομένοις δόγμασι, καὶ τῇ βαθυτέρᾳ τῶν Γραφῶν διανοίᾳ (20).

(20) Alius exstat locus iisdem *Parallelis Damascenis*, pag. 601, de morte pertractans; qui tamen plenior habetur in *Apophthegmatibus*, ut mox infra monebimus.

# THEOPHILI EPISCOPI ALEXANDRINI

## APOPHTHEGMATA.

*Vide in Appendice ad Palladium Helenopolitanum, infra ad annum* 420.